# Identificazione P.Yale 1

Datazione: 80-90 d.C. (Bradford Welles),
II-III sec. d.C. (Treu, Turner), inizio II sec. d.C. (C.H. Roberts)
Supporto: codice, papiro
Septuaginta, Genesi Cap. 14

## Uno dei primi esempi in assoluto di CODICE (cfr. O. Montevecchi)

## Porzione recto: attribuita a Genesi 14:5-8 (LXX)

**14:5 [...]** αὐτοῦ καὶ κατέκοψαν τοὺς γίγαντας
τοὺς ἐν Ασταρωθ Καρναιν καὶ ἔθνη ἰσχυρὰ
ἅμα αὐτοῖς καὶ τοὺς Ομμαίους τοὺς ἐν
Σαυη τῇ [1] πόλει **[6]** καὶ τοὺς Χορραίους τοὺς ἐν τοῖς
ὄρεσιν Σηιρ ἕως τῆς τερεμίνθου
τῆς Φαραν ἥ ἐστ**[add ε]**ιν ἐν τῇ ἐρήμῳ [spazio] **[7]** καὶ
ἀναστρέψαντες ἤλθοσαν ἐπὶ τὴν πηγὴν
τῆς κρίσεως αὕτη ἐστὶν Καδης καὶ
κατέκοψαν πάντας τοὺς ἄρχοντας
Αμαληκ καὶ τοὺς Αμορραίους τοὺς
κατοικοῦντας ἐν Ασασανθαμαρ.
**[8]** ἐξῆλθεν δὲ βασιλεὺς Σοδομων καὶ
βασιλεὺς Γομορρας καὶ βασιλεὺς

## Porzione verso: attribuita a Genesi 14:10-15 (LXX)

**Genesi 14:10** ἡ δὲ κοιλὰς ἡ ἁλυκὴ φρέατα φρέατα ἀσφάλτου· ἔφυγεν δὲ βασιλεὺς Σοδομων
καὶ βασιλεὺς Γομορρας καὶ ἐνέπεσαν ἐκεῖ, οἱ δὲ καταλειφθέντες εἰς τὴν ὀρεινὴν
ἔφυγον. **[11]** ἔλαβον δὲ τὴν ἵππον πᾶσαν τὴν Σοδομων καὶ Γομορρας καὶ πάντα τὰ
βρώματα αὐτῶν καὶ ἀπῆλθον. **[12]** ἔλαβον δὲ καὶ τὸν Λωτ υἱὸν τοῦ ἀδελφοῦ Αβραμ καὶ
τὴν ἀποσκευὴν αὐτοῦ καὶ ἀπῴχοντο· ἦν γὰρ κατοικῶν ἐν Σοδομοις. **[13]** Παραγενόμενος
δὲ τῶν ἀνασωθέντων τις ἀπήγγειλεν Αβραμ τῷ περάτῃ· αὐτὸς δὲ κατῴκει πρὸς τῇ δρυὶ
τῇ Μαμβρη ὁ Αμορις τοῦ ἀδελφοῦ Εσχωλ καὶ ἀδελφοῦ Αυναν, οἳ ἦσαν συνωμόται τοῦ
Αβραμ. **[14]** ἀκούσας δὲ Αβραμ ὅτι ᾐχμαλώτευται Λωτ ὁ ἀδελφὸς αὐτοῦ, ἠρίθμησεν [2]
τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, *τριακοσίους δέκα* [3] καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω
αὐτῶν ἕως Δαν. **[15]** καὶ ἐπέπεσεν ἐπ᾽ αὐτοὺς τὴν νύκτα, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ,
καὶ ἐπάταξεν αὐτοὺς καὶ ἐδίωξεν αὐτοὺς ἕως Χωβα, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ.

---

[1] Linea 4: lo *iota* ascritto non compare nel testo.
[2] Sul papiro sembra che ci sia scritto ηρεν.
[3] Sul papiro il numero trecentodiciotto τριακοσίους δέκα è abbreviato con TIH.